ψέγοις, ὅτι γένοιτ᾽ ἂν εἰρήνη; ἢ καὶ τοὺς ἐν τοῖς πολέ-
μοις ταῖς πατρίσι προθύμως βοηθοῦντας μέμφῃ;
¶ Μὰ Δί᾽ οὐκ ἔγωγ᾽, ἔφη. ¶ Λυκοῦργον δὲ τὸν Λα- 15
κεδαιμόνιον, ἔφη ὁ Σωκράτης, καταμεμάθηκας, ὅτι
οὐδὲν ἂν διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην
ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα
ἐνειργάσατο αὐτῇ; τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν
οὐκ οἶσθα, ὅτι, οἵτινες ἂν τοῖς πολίταις αἰτιώτατοι
ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι; καὶ
πόλις, ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθον-
ται, ἐν εἰρήνῃ τε ἄριστα διάγει καὶ ἐν πολέμῳ ἀνυ-
πόστατός ἐστιν. Ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγι- 16
στόν τε ἀγαθὸν δοκεῖ ταῖς πόλεσιν εἶναι, καὶ πλειστά-
κις ἐν αὐταῖς αἵ τε γερουσίαι καὶ οἱ ἄριστοι ἄνδρες πα-
ρακελεύονται τοῖς πολίταις ὁμονοεῖν, καὶ πανταχοῦ ἐν
τῇ Ἑλλάδι νόμος κεῖται, τοὺς πολίτας ὀμνύναι ὁμονοή-
σειν, καὶ πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον. οἶμαι
δ᾽ ἐγὼ ταῦτα γίγνεσθαι, οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς
κρίνωσιν οἱ πολῖται, οὐδ᾽ ὅπως τοὺς αὐτοὺς αὐλητὰς
ἐπαινῶσιν, οὐδ᾽ ὅπως τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδ᾽
ἵνα τοῖς αὐτοῖς ἥδωνται, ἀλλ᾽ ἵνα τοῖς νόμοις πείθων-
ται. τούτοις γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις
ἰσχυ-

locum, ſed *ciues* ipſi; nec eſt, quod quis opinetur, ſequentia efficere ita tautologiam. nam diſcrimen cernitur in εὐτακτοῦντας et προθύμως βοηθοῦντας. Vatic. I. et Flor. E omittit προθύμως.

§. 15. Σπάρτην] Cf. de Rep. Lac. cap. 8.

εἰ μὴ τὸ πείθεσθαι] In edd. vett. perperam eſt τῷ pro τὸ, et poſt μάλιστα ibid. et apud Stobaeum interpolatur οὓς, male. Nam ἐνεργάζεσθαι νόμους dici nequit, at recte refertur ad τὸ πείθεσθαι. Igitur οὓς iſtud nec eſt in editione Stobaei Venet. Ante τὸ πείθεσθαι e ſuperiori intelligitur ὅτι. Similia loca laudat Hindeburgius Mem. II, 7, 14: I, 6, 5.

ὅτι, οἵτινες] In Iunt., excepta Caſt., deeſt ὅτι, abſorptum a ſeq.

§. 16. ὀμνύουσι τὸν ὅρκον τ.] De formula huiusmodi iuriſiurandi apud Athenienſes vid. Lycurg. adu. Leocr. p. 189, ed. R. Pollux VIII, 105: Stob. p. 243.

κρίνωσιν] *Vt iisdem choris victoriam omnes tribuant; de iisdem choris idem iudicent, eosdem probent.* Κρίνειν ſimpliciter dicitur in vtramque partem. *Ern.*

τοῖς αὐτοῖς] Reiskius addi vult θαύμασι vel θεάμασι. Sed melius eſt intelligi ἔργοις, χρήμασι, *rebus iisdem*, nam et ἀκροάμασι delectamur non iisdem omnes. *Ern.*



Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden http://digital.slub-dresden.de/id375455116/285 gefördert von der Deutschen Forschungsgemeinschaft